eul_wid: voa-aa

*Λέξικον τῆς τέχνης τῆς γραμματικῆς* · Lexicon of the Art of Grammar Anonymous

# Lexicon of the Art of Grammar

*Λεξικὸν τῆς Γραμματικῆς Τέχνης*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

425 (t) ΛΕΞΙΚΟΝ ΤΗΣ ΓΡΑΜΜΑΤΙΚΠΣ. Ὀπηνίκα : ὁπότ' ἄν. Συνέπεια : σύμμιξις. Τεκτονική : λεπτουργική. Ἐλεγεία : ἐλεγεῖον μέτρον ἐστὶν ἐκ δύο πενθημιμερῶν γινόμενον. Ἔπος : ὁ λόγος. Εὐτόνως : εὐτονίας προφέρεσθαι· ὥσπερ οἱ τραγῳδοὶ εὐτόνως τὸν φθόγγον ποιοῦσιν. Λυρικήν : ἡ λυρικὴ ποίησις ἐπὶ αὐλῶν καὶ κιθαρῶν ᾄδεται. Ὑφειμένως : ταπεινῶς. Ἐμμελῶς : ταύτῃ καλλίστως ἐκλίθη λύρα. Γοερῶς : κατανυκτικῶς. Ἅρπη : δρεπάνη.

426 Δίων : ὄνομα κύριον. Πέλοψ : ὄνομα κύριον. υἱὸς Ταντάλου. Κλειώ : ὄνομα κύριον. Ἕλιξ : ὁ βλαστὸς τῆς ἀμπέλου. Λαῖλαψ : ἡ συστροφὴ τοῦ ἀνέμου. Δέπας : τὸ ποτήριον. Δόρυ : τὸ κοντάριον. Καταχρηστικῶς : παρὰ συνήθειαν. Ἥρως : ὁ γενναῖος. ἢ ἡμίθεος. Ἄρης : ὁ πόλεμος. Περαιοῖ : τελειοῖ. Προσηγορία : ὁμωνυμία. Ἔνιοι : τινές. Γαιήϊος : ὁ γήϊνος. Ὕῤῥας : ὄνομα κύριον. ἐξ οὗ ὁ Πιττακός. ὁ υἱὸς αὐτοῦ, Ὑῤῥάδιος ἐκλήθη. Ἀδραστίνη : ὄνομα κύριον θυγατρὸς Ἀδράστου. Ἀνθρωπίσκος : ὁ πίθηκος. Λίθαξ : ὁ μικρὸς λίθος. Μειρακύλλιον : τὸ μικρὸν παιδίον. Θέων : ὄνομα κύριον. Μέμνων : ὄνομα κύριον. Ὁμώνυμον : ὅμοιον. Φάσγανον : τὸ ὀξὺ ξίφος. Τισαμενός : ὄνομα κύριον. συνέβη γὰρ κατὰ τὸν τῆς γεννήσεως αὐτοῦ καιρὸν τὴν πόλιν μεγάλην τιμωρίαν ὑπομεῖναι, καὶ γεννηθέντα ὀνομασθῆναι Τισαμενόν· ἐκ τοῦ τίω, τὸ τιμωρῶ· ὁ ἐν μεγάλῃ τιμωρίᾳ γεννηθείς. Μεγαπένθης : ὁμοίως καὶ οὗτος ὠνομάσθη.

427 μεγάλου γὰρ πένθους γενομένου τῇ πόλει ἐν τῇ γεννήσει αὐτοῦ, ἐπέθηκε τὸ ὄνομα αὐτοῦ Μεγαπένθης. Ἐνοσίχθων : ὁ σείων τὴν γῆν. αὐτὸν δὲ λέγουσιν εἶναι τὸν Ποσειδῶνα. Φρύξ : ὄνομα ἔθνους· ἐξ οὗ καὶ Φρυγία. Γαλάτης : ὄνομα ἔθνους· ἐξ οὗ καὶ Γαλατία. Πηλίκος : ποταπός. Ἄρδω : ποτίζω. Ἀντιγονίζω : τὰ τοῦ Ἀντιγόνου φρονῶ. Ἀνύω : πράττω. Νύσσω : κάμπτω· ἐξ οὗ καὶ Νύσσα , ὁ καμπτήρ. Ἱππεύω : ἱππάζομαι. Ἀλέξω : βοηθήσω. Τόφρα : ἄχρι. ἕως. Πύξ : ὁ γρόνθος. Λάξ : τὸ λάκτισμα. Μάλιστα : ἐξαιρέτως. Ἄμυδις : ὁμοῦ. Δηλαδή : δῆλον ὅτι. Ἰστέον : γνωτὸν ἔστω. Ἐπ' ἄπειρον : ἐπιπολύ. Κεχηνώς : ἀποκεχωρισμένος. διεσχισμένος. Εἰώθασιν : ἐξ ἔθους ἔχουσιν. Σόλων : σημαίνει τρία· ὄνομα κύριον, καὶ τὸ ὄρος. σημαίνει καὶ τὸν δίσκον. Σερῆνος : ὄνομα κύριον. Ὕας : ὄνομα ἔθνους· λέγονται δὲ οἱ Βοιωτοί. Σιμόεις : ὄνομα κύριον. Νᾶες : αἱ νῆες. Τρώς : ὄνομα κύριον.

428 ὃς καὶ τὴν Τρωάδα κτίσας· οἱ ἐκεῖ κατοικοῦντες Τρῶες ἐκλήθησαν. Κύπρις : ἐπώνυμον Ἀφροδίτης. Κοχλίας : ὁ στρογγυλοειδὴς τόπος. Αἰνείας : ὄνομα κύριον. Ἑρμένας : ὄνομα κύριον βασιλέως. Μήδεια : ὄνομα πόλεως. Μάσθλης : ὁ λῶρος. Μόργης : ὄνομα ἔθνους. Μέλης : ὄνομα ποταμοῦ. Μηριόνης : ὄνομα κύριον. Θύτης : ὁ ἱερεύς. ἀπὸ τοῦ θύειν. Ἀγκυλοχείλης : ὁ ἐπικάμπη

ἔχων τὰ χείλη, ὡς ἐπὶ τοῦ ἱέρακος. Πάρις : ὄνομα κύριον· ὁ Ἀλέξανδρος. Ἄδωνις : ὁ Ἅιδης. Μέμφις : ὄνομα κύριον. Χαρίεις : ὁ ἐπιχαρής. Εὐγήρως : ὁ καλῶς γεγηρακώς. Υἱέσι : τοῖς υἱοῖς. [15]

429 Ἡδύς : ὁ γλυκύς. Πῆχυς : εἶδος μέτρου. Ὠκύς : ὁ ταχύς. Χροῦς : τὸ σῶμα. καὶ ἡ χροιά. Πλακόεις : ὁ πλακώδης τόπος. Ἀπτώς : ὁ μὴ πτοηθείς. Ἀγνώς : ὁ μὴ γνῶσιν ἔχων. Μίνως : ὄνομα κύριον. Νέπως : ὄρος. ἢ ἰχθύς· ἀπὸ τοῦ νε στερητικοῦ, καὶ τοῦ πούς. Εἵλως : ὁ δοῦλος. ὁ κακοπαθῶν. Νεώς : ὁ ναός. Τίρυνς : ὄνομα πόλεως. Μάκαρς : ὁ μακάριος. Δᾶερ : ὁ ἀνδράδελφος. Ἀλκμάν : ὄνομα κύριον. Παιάν : εἶδος ᾠδῆς, ἀπὸ τοῦ παύειν τὴν μανίαν. Τιτάν : ὄνομα ἔθνους. Πάν : ὄνομα κύριον. Σωλήν : τὸ σωληνάριον. Τέρην : ὁ ἁπαλὸς καὶ τρυφερός. [20]

430 Γέρην : ὄνομα κύριον. Μόσυν : τὸ τεῖχος. Ἱέρων : ὄνομα κύριον. Περικτίων : ὄνομα ἔθνους. Ξενοφῶν : ὁ ἐν τοῖς ξένοις τόποις φονευόμενος. Τυφών : ὁ τυφώς. ἢ ὁ μέγας ἄνεμος. Θώραξ : πύργος τειχῶν. ἢ ὅπλον πολεμικόν. Ταών : τὸ παώνιον. Ἀγλαοφῶν : ὄνομα κύριον. Πίδαξ : ἡ πηγή. Βουπλήξ : τὸ βούκεντρον. Οἰστροπλήξ : ὁ τῇ μανίᾳ πεπληγώς. Τέττιξ : ἀηδών. Ὁμῆλιξ : συνηλικιώτης. τῆς αὐτῆς ἡλικίας. Δοῖδυξ : τὸ τινακτάριον. Βέβρυξ : Ἕλλην. Ἄμπυξ : τὸ κεφαλοδέσμιον. ἢ τὴν περικεφαλαίαν. Βώξ : εἶδος ζώου. Πτώξ : ὁ λαγωός. Αἰθήρ : ὁ ἐν τῷ ὕψει ἀήρ. [20]

431 Ἐλατήρ : ὁ ἡνίοχος. Σπινθήρ : ὁ μικρὸς ἄνθραξ. Ἐλευθήρ : ὁ ἀπὸ ξένης παραγεγονώς. Πίηρ : ὄνομα ὄρους. Φράτηρ : ὁ συγγενής. Ἐρίηρ : ἄγαν εὐάρμοστος. Πάνθηρ : ὄνομα κύριον. Κέλωρ : ὁ υἱός. Μέντωρ : ὄνομα κύριον. Πέλωρ : τὸ σημεῖον. Κύκλωψ : ὄνομα κύριον. Λαῖλαψ : ἡ συστροφὴ τοῦ ἀνέμου. Κίνυψ : ὄνομα ποταμοῦ. ἢ ὁ ποικίλος. Ἄραψ : ὄνομα ἔθνους. Χάλυψ : ὄνομα ἔθνους. Περὶ θηλυκῶν. Μοῦσα : ὄνομα κύριον θεᾶς. Μαῖα : ἡ μάμμη. Σφαῖρα : τὸ στρογγυλοειδές. Ἄελλα : ἄνεμος. πνοή. Λήδα : ὄνομα κύριον. Τρήρων : ἡ δειλὴ περιστερά. [20]

432 Μήκων : εἶδος βοτάνης. Ἀνθηδών : ὄνομα πόλεως. Ὀλοσσών : ὄνομα πόλεως. Αὖλαξ : τὸ ἀπόσχισμα τῆς γῆς. Δίπλαξ : διπλοΐς. διπλῆ. Πήληξ : τὸ κασσίδιον. Χάλιξ : τὸ χαλίκιον. Λάταξ : ἡ μεγάλη σταγών. Ἄλξ : ἡ δύναμις. Λύξ : ὁ κλιγιασμός. Δημήτηρ : ὄνομα θεᾶς· ἔστι δὲ ἔφορος τῆς γῆς. Φιλότης : ἡ φιλία. Μῆνις : ἡ ὀργή. ἔρις. Ἔρις : ἡ φιλονεικία. Ὄνωνις : εἶδος φυτοῦ. Ἄγυρις : τὸ ἄθροισμα. Πίτυς : ἡ ἐλάτη· ἐξ οὗ καὶ τὰ πιτύκια . Χέλυς : ἡ κιθάρα. Κόρυς : ἡ περικεφαλαία. Κώμυς : ἡ δεσμὶς τοῦ χόρτου. Ὀϊζύς : ὁ ἐπίπονος καὶ ταλαίπωρος. Ἐριννύς : ὄνομα δαίμονος τιμωρητικοῦ. Αἰδώς : ἡ αἰσχύνη. Ἕως : ἡ ἡμέρα. Κῶς : ὄνομα πόλεως. [25]

433 Ἅλως : τὴν ἅλωνα σημαίνει, καὶ τὸ νεφοειδές. Τὰ οὐδέτερα. Λιπόπατρις : ὁ τὴν πατρίδα καταλιπών. Ἄλειφαρ : τὸ ἄλειμμα. Δῶμα : τὸ οἴκημα. Πῶϋ : τὸ ποίμνιον. Ἄστεως : πόλεως. Κτέαρ : κτῆμα. Δέλεαρ : φάρμακον. Οὖθαρ : ὁ μαζός. Στέαρ : τὸ λίπος. Φρέαρ : ἡ πηγή. Ὄνειαρ : ὠφέλιμον. ἀγαθόν. Τέκμωρ : σημεῖον. τέλος. Ἕλωρ : τὸ ἐπιθύμημα. Οἱ τόνοι. Ὑπεξαιρείσθωσαν : μετατιθέσθωσαν. Ἰᾶς : καὶ μιᾶς, κατὰ πλεονασμόν. Κῆρος : σημαίνει τὴν ψυχήν· γίνεται δὲ ἀπὸ τοῦ κέαρος. Θώνιος : ὄνομα κύριον ἀνδρὸς Αἰγυπτίου· ἐκ τούτου κατὰ συγκοπήν, Θῶνος . [16]

434 Ἦρος : τοῦ ἔαρος, κατὰ κρᾶσιν. Ὠπός : τῆς προσόψεως. Τυνδάρεω : ὄνομα κύριον. Μελίκρατι : ὄνομα κύριον. Ἀβλῆτος : τόξου, τοῦ μήπω βεβλημένου, καινουργοῦ. Κλεῖν : τὴν κλεῖδα. Λῖν : λέοντα· ἡ εὐθεῖα Λίς . Μῦν : τὸν μυσαρόν. Σῦν : τὸν χοῖρον. Ζῶν : τὸν ζῶντα· ἡ εὐθεῖα, ὁ ζῶς (sic), τοῦ ζῶ. Θεῦν : τὸν θεόν· κατὰ κρᾶσιν Δωρικήν. Λειώδης : ὁ ὁμαλός. Μητιέτης : ὁ βουλευτικός. Ἀκάκητα : ἀκακήτης. ὁ ἥσυχος. Εὐρύοπα : τὸν μεγαλόφθαλμον. Εὐμήκης : ὁ πλατὺς καὶ μέγας. Αὔταρκες : ἀρκετόν. Κάταντες : τὸ ἀπ’ ἐναντίας. Εἴνατερ : σύννυμφε. Δαΐφρων : πολεμικὸν φρόνημα ἔχων. Λακεδαίμων : ἡ ἀπὸ τῆς Λακίας δαίμονος. Ἄμφω :

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμφότεροι. δύο. Κηδεστής : ὁ φροντιστής. Βοιδίων : τῶν βοῶν· κατὰ συναίρεσιν ἀπὸ τοῦ βοϊδίων. [25]

435 Εὐνοῖν : τοῖν φρονίμοιν· ἡ δὲ εὐθεῖά ἐστι, εὔνους, εὔνου. Εὐθῦναι : αἱ ἀδικίαι· ἡ δὲ εὐθεῖά ἐστιν, ἡ εὐθύνη. Ἥμεραι : αἱ ἀγαθαὶ καὶ πραεῖαι. Κάνεον : κανίσκιον. Δμώων : δούλων. Θώων : εἶδος θηρίων. Κράτων : τῶν κεφαλῶν. Δᾴδων : τῶν δᾳδίων. ἡ εὐθεῖα δαΐς, δαΐδος· ἡ γενικὴ τῶν πληθυντικῶν δαΐδων, καὶ συναίρεσιν, δᾴδων. Λάων : λίθων. Χλούνων : τῶν ἀγρίων χοίρων. Χρήστων : οἱ δανείζοντες. καὶ οἱ δανειζόμενοι. Ἐτησίων : τῶν κατ' ἔτος γινομένων ἀνέμων. Ἀφύων : τῶν μὴ φυομένων· ἀπὸ τοῦ Ἀφύα . Ῥόδιοι : οἱ ἀπὸ τοῦ Ῥόδου. Μακαιρῶν : τῶν μακαρίων. Ὀχθῶν : τῶν γαιῶν. Ἰλιάδες : αἱ ἀπὸ τοῦ Ἰλίου γυναῖκες. Δαναΐδες : αἱ τῶν Δαναῶν γυναῖκες. Τριήρων : τῶν τρεῖς ἐλασίας ἐχουσῶν νηῶν. [20]

436 Δυσώδων : τῶν κακῶς πνεόντων· ἡ εὐθεῖα δυσώδης. Ξυρόν : ξυράφιον. Γοῦνα : γόνατα. Δοῦρα : τὰ τῶν νηῶν ξύλα. Ἔγκασι : τοῖς ἐγκάτοις. Τοῦ ῥήματος. Διαληψόμεθα : διαλάβωμεν. Ἀμοιβή : καταλλαγή. Συνέμπτωσις : ὁμοφώνησις. Φαμέν : λέγομεν. Χειώδης : χρήσιμος. Διήκει : διέρχεται. Ἡβῶ : αὐξῶ. Ὠθῶ : τὸ προθῶ. λέγεται καὶ Ὤθω βαρύτονον, καὶ Ὄθω , τὸ ὀργίζομαι, διὰ τοῦ ο μικροῦ. Ἰξεύω : ὁρμῶ. Ὑδρεύω : ὕδωρ ἀντλῶ. Οἴγω : ἀνοίγω. Ἀντιβολῶ : παρακαλῶ. ἢ ἀπαντῶ. Ἐνδέον : ἐλλεῖπον. Ποσότης : πλεονασμός. πληθύς. Πείθω : τὸ πιστεύω· τὸ δὲ πάσχω διὰ τοῦ ν . Λείβω : τὸ σπένδω· καὶ τὸ λαμβάνω διὰ τοῦ η . Κείρω : κόπτω. Νέμω : μερίζω. Μένω : οἰκῶ. Συντελικός : τετελειωμένος. [25]

437 Ἐλεύθω : παραγίνομαι. Σχεδόν : πλησίον. ἐγγύς. Εἴασαν : ἔασαν. ἠφίεσαν. Φράζω : λέγω· σημαίνει δὲ καὶ τὸ σκέπτομαι. Πλήσσω : κεντῶ. τιτρώσκω. Ἀμείβων : ἀντὶ καταλλάσσων. Διενήνοχε : διαφέρει. παραλλάσσει. Ἐμύκησα : ἐβόησα· κυρίως τὸ μυκᾶσθαι ἐπὶ τῶν βοῶν. Δήκω : δάκνω. Πῆ : ποῦ δή. Λήκω : σκάπτω. Χραισμῶ : βοηθῶ. Ὀλισθῶ : πλανῶμαι. παραβαίνω. ἐκλιστρῶ. Ἀρόσω : ἁρμόσω. Τέτιλται : ἀνέσπασται· ἐκ τοῦ Τίλλω , τὸ ἀνασπῶ. Αἰδοῦμαι : αἰσχύνομαι. Νίφω : βρέχω· ἐξ οὗ Νιφετός καὶ νιφάς . Νήθω : κλώθω. ἐξ οὗ Καὶ νῆμα . Οἰέσθω : νομιζέτω· ἐκ τοῦ οἴω. Ἔῤῥαγκα : ἐσκόρπικα· ἐκ τοῦ ῥαίνω. Ἐδόκει : ἐνομίζετο. Συναρτώμενον : συναρμοζόμενον. συντελειούμενον. Πρὸς παρόν : πρὸς ὀλίγον. Παρηνώχλει : ἐκώλυεν. Δοίημεν : παράσχοιμεν. [25]

438 Πρόδηλος : φανερά. Κέκλημαι : προσεκαλέσθην. Μοναδικήν : μόνην. Ἀλλοία : ἀλλοίωσις. Ἐδάμην : ἐδαμάσθην. Τὰ εἰς μι . Τίθημι : ποιῶ. Εἰμί : ὑπάρχω. Εἶμι : πορεύομαι. Ἵημι : πέμπω. Φημί : λέγω· καὶ ἀποβολῇ τοῦ φ , Ἠμί . Ζεύγνυμι : ζευγνύω. Ἐλήκησα : ἐσχίσθη. Κίχρημι : δίδωμι. Ἀφιᾶσι : πέμπουσι. Κῆρ : ἡνίκα ὀξύνεται, σημαίνει τὴν ψυχήν· περισπώμενον δέ, τὴν θανατηφόρον μοῖραν. Φῆρ : θηρίον· κατὰ τροπὴν τοῦ θ εἰς φ . Σής : ὁ σκώληξ. Σκώρ : ἡ σκωρία· οἱ δέ, τὸ κόπρον. Κρῖ : κρῖνον (sic), κατὰ ἀποκοπήν. Ὁ Γρᾶς : ὄνομα κύριον. Ὁ Λᾶς : ὄνομα ποταμοῦ· σημαίνει καὶ τὸν λίθον. [20]

439 Ζηνᾶς : ὄνομα κύριον. Θροῦς : θόρυβος. Σιμοῦς : ὄνομα ποταμοῦ, ἀπὸ τοῦ Σιμόεις συναιρεθέν. Εὔνους : φρόνιμος. Εὔπλους : ὁ καλῶς πλέων. Δρῦς : εἶδος δένδρου. Ἀπφῦς : ἀδελφός. Διονῦς : ὄνομα κύριον Διονύσου. Ὀσφῦς : ἡ ζῶσις. Πρωτεῦ : ὄνομα κύριον. Ἀγχοῦ : πλησίον. Θαλέας : ὄνομα κύριον. Σιμόεις : ὄνομα ποταμοῦ. Φθόϊς : εἶδος πλακοῦντος. Βόαξ : εἶδος ζώου. Ἀμέλει : νῦν. διὰ τοῦτο. Ἠώς : ἡ ἡμέρα. Πάνθους : ὁ πάντοτε τρέχων. Κυκεών : ταραχή· ἢ πόμα ἐκ πολλῶν βοτανῶν κατεσκευασμένον, ὅ ἐστι φάρμακον. Τυφώς : ὁ κυρτός. Χρή : προσῆκον. πρέπον. Πευστικόν : ἐρωτηματικόν. Γρῦ : ὁ τοῦ ὄνυχος ῥύπος. Ῥᾴ : ῥᾳδίως. [25]

440 εὐκόλως. Ἴθι : πορεύου. Λῶροι : λωρία. Κοῦραι : αἱ νέαι. Πῶλοι : οἱ ὄνοι· εἰ δὲ τὸ πο μικρόν, σημαίνει τοὺς οὐρανούς. Χηναλώπηξ : εἶδος ζώου, ἥντινα καλοῦσιν ἀλωποχῆνα. Ἀϋτή : βοή. κραυγή. Ἐΐσκω : ἀπεικάζω. Ἄσιος : ὁ ξηρός· ἀπὸ τοῦ Ἄζω , τὸ ξηραίνω, ἄζιος καὶ ἄσιος.

Βάκχος : ὄνομα κύριον· σημαίνει καὶ τὸν οἶνον. Ὀλισθηρός : ἀπατηλός. Ἀτθίς : Ἀττική. Ἄλσος : σύμφυτος τόπος. Κένσαι : κεντρίσαι. ἀφανίσαι. Συνάπτουσιν : συγκρατοῦσιν. Πρόσφατον : τὸ νεωστὶ γεγονός. Εἰσδῦναι : εἰσελθεῖν. Μάκαιρα : μακαρία. Νενυχότος : πεπληγότος. Σύμβιος : ὁ ἐν τῷ βίῳ συζῶν. Μείων : μικρός. Λῴων : βελτίων, ἀπὸ τοῦ λωΐων. Ἀρείων : κρείττων. Κῷος : ἀπὸ τῆς Κῶ νήσου. Ἡρῷον : ἥρωος ναός. Μινῷος : ὄνομα κύριον. Μεμφίτης : ὁ ἀπὸ τῆς Μέμφιδος πόλεως. Τοπίτης : ὁ ἀπὸ τόπου. Ἀλήτης : πλανήτης.

441 Ἀταρνή : ὄνομα ἔθνους. Εὐρείτης : ὁ καλῶς ῥέων. Ζελείτης : ὁ ἀπὸ Ζελείας πόλεως. Ἀκραγαντῖνος : πόλεως Σικελίας. Ἀληθές : ἀληθῶς· ἔστι δὲ ἐπίῤῥημα βεβαιώσεως. Ὑσμίνη : ἡ μάχη. Αἰητίνη : ἡ τοῦ Αἰήτου θυγάτηρ. Θριδακίνη : τὸ μαρούλιον. Χαρίσιος : ὄνομα κύριον, ἐξ οὗ καὶ Χαρισίου πόρτα. Ἀφροδίσιος : ὄνομα κύριον. Ἀρκείσιος : ὄνομα ποταμοῦ. Σιμοείσιος : ὄνομα κύριον· ὁ ἐν Σιμόεντι ποταμῷ γεννηθείς. Ἀντήρης : ἀντίθετος. ἀντίλογος. Φθογγήεις : φωνητικός. Ἐρεείνω : ἐρωτῶ.

442 Φαείνω : λάμπω. Ἀλεείνω : ἐκκλίνω. φεύγω. Ὀρίνω : διεγείρω. Ὠδίνω : γεννῶ. Ἴκελος : ὅμοιος. Ἀνδροείκελος : ἀνδρὶ ὅμοιος. Μάσσω : μαλάσσω. Ἄισσω : ὁρμήσω· ἀπὸ τοῦ ἀΐσσω. Ἀπάμεια : ὄνομα πόλεως. Εὐήθεια : μωρία. ἄνοια. Πηνελόπης : ὄνομα γυναικός. Χαλκόβαρυς : ὁ ἀπὸ χαλκοῦ κατεσκευασμένος. Ἱππόδασυς : ὁ ἐξ ἱππείων τριχῶν δεδασυνιομένος. Θέρω : θερμαίνω. Μήδω : βουλεύω. Σαφῶ : ἀκριβῶ. Λαγνεία : πορνεία. Ἶρις : ὄνομα θεᾶς. Βριθύς : βαρύς. Πορίζω : δίδωμι. Πινδαρικός : ὄνομα κτητικὸν Πινδάρου, ἢ ἄλλο τι. Δημοσθενικός : ὄνομα κτητικὸν Δημοσθένους. Βοεικός : βόειος. Δαρεικός : Δαρείου κτῆμα· ἔστι δὲ ὄνομα βασιλέως. Δεκελεικός : ὄνομα τόπου. Κουρεῖον : ἔνθα οἱ κουρεῖς καθέζονται· σημαίνει δὲ καὶ τὸ φυλακτήριον. Ὀλέτειρα : ἡ ὄλεσις.

443 Σπεῖρα : ἡ σύναξις. Ὡδί : ἀντὶ τοῦ, ὧδε. Δευρί : ἀντὶ τοῦ, δεῦρο. λίψ : ὄνομα ἀνέμου, ἐξ οὗ καὶ ἀπολίβασμα . Θρίψ : σκώληξ, ἐσθίων τὰ κέρατα. Κνίψ : εἶδος ζώου. Στείβω : περιπατῶ. Στοιβή : ἡ ὁδός. Νῖνος : ὄνομα κύριον· ὁ τὴν Νινευῒ κτίσας. Μῖμος : ἡ μίμησις. Ῥᾷον : εὔκολον. Ἀρείων : κρείττων. Πηνειός : ποταμὸς Θεσσαλίας. Ἀλφειός : ποταμὸς Ἠλίδος. Σπερχειός : ποταμὸς Παμφυλίας. Μηνιός : ὄνομα ποταμοῦ. Ἄχος . ἡ λύπη. Ἠχῶ : κτυπῶ. Ἦιχι : ἔνθα. ὅπου. Ἕκηλος : ἥσυχος. Ὄρχος : ὁ τοῦ χώρου ἔξαρχος· ἢ λάκκος. Εἱρκτή : φυλακή. Εἰρχθῆναι : φυλακισθῆναι. Ὀφρῦς : ἡ ἔπαρσις. Ἄθρους : ὁμοῦ. Ἀάπτους : ἀπροσπελάστους. Ἀήσυρα : μάταια. ἀλαμπῆ. Ἀΐω : ἀκούω. Ἰάπτω : πέμπω. Ἠΐθεος : ἰσόθεος. Ἠέλιος : ἥλιος.

444 Ἵημι : πέμπω. Ὀΐω : κατὰ διάλυσιν, ὑπολαμβάνω. Ὀϊστός : τὸ βέλος. Ἰόμωροι : ἐπονείδιστοι. Ἐήνδανε : ἤρεσκε. Ἑώρων : ἔβλεπον. Ἔνθεν : αὐτοῦ. Ἀγορανόμος : ὁ διοικητής. Ὠγύγιος : ὁ ἀρχαῖος. Ἁγνός : ὁ καθαρός. Ἅζω : σέβομαι· ὅτε δὲ ψιλοῦται, ξηραίνω. Ἀζήνας : τὰς ξηράς. Ἀθῶος : ἀζήμιος. Ἀθερίζω : ἐξουθενῶ. Ἄχθος : βάρος. Ἄθροος : ἄφωνος. ὁ μὴ ἔχων φωνήν. Ἁφή : ἡ χείρ. Ἅπτομαι : κρατῶ. Ἥφαιστος : ἡ τοῦ πυρὸς οὐσία. Ἴφθιμος : ἰσχυρός. Ὦλλος : ἡ τοῦ βραχίονος καμπή. Ἑφθός : ἕψημα. Ἅλλομαι : πηδῶ. Ἐλλός : ὁ ἄφωνος. ἢ ἰχθύς. Ὀτρηρός : σπουδαῖος. ὀξύς. Ὀτοτύζειν : θρηνεῖν. λέγειν. Ὄτλος : ὁ μόχθος. Ἦμος : ἡνίκα. Ἦμαρ : ἡμέρα. Ἧλος : τὸ καρφίον· ὅτε δὲ γράφεται διὰ τῆς ει διφθόγγου, σημαίνει τὸν δοῦλον. Ὀπηδός : ἀκόλουθος.

445 Ἔμπλην : ἐγγύς. πλησίον. Ἔμπουσα : Ὀνοσκελίς. ἢ φάσμα Ἑκατήσιον. Ἀνία : ἡ λύπη. Ἀνύω : πράττω. Ἀραιήν : ἰσχυράν. Ἀσία : ὄνομα τόπου. Ἄστυ : ἡ πόλις. Ἀστράγαλος : τὸ παρὰ τὸν πόδα ὀστοῦν. Ἀσάμινθος : τόπος, ἐν ᾧ λούονται. Ἀτύμνιος : ἀπὸ Ἀτύμνου πόλεως. Ἀττέλεβος : ἡ ἀκρίς. Ἄτταλος : ὄνομα κύριον. Ἄψοῤῥον : ἐξ ὑποστροφῆς. Ἅψεα : μέλη. σώματα. Ἁψίς : ἡ καμάρα· παρὰ τὸ κρατεῖν, καὶ ἅπτεσθαι. Ἔφεσος : ὄνομα πόλεως. Ὄζαινα : ὄνομα γυναικός. Ἶφι : ἰσχυρῶς. Ἰσχανόω : ἐπιθυμῶ. Ἠλύγη : τὸν σκοτεινόν. Ἠλίβατος : ὁ ὑψηλὸς τόπος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἡλιαία : ἡ ὑψηλή. Ἠλιτόμηνις : ὁ παρὰ μῆνα γεννηθείς. Ὀρεύς : ὁ ἡμίονος. Ὀρέγω : ἐπιθυμῶ. Ὀρόντης : ὄνομα ποταμοῦ. Ὠδινῶ : γεννῶ. Ὠλένες : αἱ χεῖρες. Αἰδοῦμαι : ἐντρέπομαι. Αἰζηός : νέος. Αἱμύλος : ἀπατηλός. [30]

446 Αἰρῶ : πορθῶ· σημαίνει δὲ καὶ τὸν αἱρετικόν. Οἶστρος : ἡ ἐπιτεταμένη μανία. Οἶμος : ἡ ὁδός. Αὐδῶ : φωνῶ. βοῶ. Αὔω : πνέω· ἐξ οὗ καὶ Αὐλή . Εὔβοια : ὄνομα πόλεως. Εὔμηλος : ἡ καλὰς μηλέας ἔχουσα. Εὐηχές : εὔφωνον. Εὕδω : καθέζομαι. Εὕω : καίω· ἐνίοτε καὶ φωτίζω. Οὐλή : ἕλκος· Οὖλη δέ, βαρυτόνως, ἡ κόμη καὶ ἡ κριθή. Ἑκών : θέλων. Ἐρύσω : ἐπὶ κοιλίας βαδίζω. Ἡσίοδος : ὄνομα κύριον. Ἠμύει : ἐπικλίνει. Ἥσσων : ἐλάσσων. Ἡσιόνη : ὄνομα κύριον. Ἤστην : ὑπῆρχον. Ἠρήρειστο : ἐπέπηκτο. Ἠρόμην : ἠρώτων. Ὅμιλος : πλῆθος. Ὀμηχῶ : οὐρῶ. Ῥᾶρος : ὄνομα κύριον. Στύξ : ὁ μισητός. Κίς : ὁ ἐν τῷ σίτῳ σκώληξ. κάρ : ὄνομα ἔθνους· ἐξ οὗ καὶ τό· Κᾶρες καὶ Παίονες ἀγρυρότοξοι . [25]

447 Εἰλαπίνη : ὄνομα ποταμοῦ· σημαίνει δὲ καὶ τὴν εὐωχίαν. Μολυβδίνη : ὄνομα πόλεως. Ἄλκιμος : ὁ δυνατός. Κύδιμος : ὁ ἔνδοξος. Βούλιμος : ἡ μεγάλη λιμός. Μετοπωρινός : ὁ ἐπὶ χειμῶνα καιρός. Δάος : ἡ μάθησις. Φάρος : ἱμάτιον. Πάγος : ἡ εὐπραγία. Ἄβυδος : ὄνομα πόλεως. Λάβδακος : ὄνομα κύριον. Ἅμιλλα : ἡ συστροφή· ἢ ταραχή. εἴλησις. ἀνάμιξις. Ἀμύμων : ἄψογος. ἀγαθός. Ἀμῶ : συνάγω. Ἄμητος : θερισμός. Ἴτυς : ἡ τοῦ τροχοῦ περιφέρεια. Ἰτέα : ὄνομα δένδρου. Ἰτρίον : μέλος ἐντὸς τοῦ σώματος· ἔστι δὲ παρὰ τὸν κενεῶνα. Ἴτωνα : ὄνομα τόπου. Ἁνδάνω : ἀρέσκω· ἐξ οὗ καὶ τό· ἥνδανε θυμῷ . Κιχάνω : καταλαμβάνω. Κυλίω : ταράσσω. [25]

448 Κονίω : παλαίω. ἀλείφω. οἱ γὰρ παλαίοντες ἐπαλείφονται πρὸς τὸν ἀγῶνα. Ἀτίω : ἀτιμάζω· ἀπὸ τοῦ τίω, τοῦ τιμῶ, μετὰ τοῦ στερητικοῦ Α . Μηνίω : ὀργίζομαι. Ἔχις : ἡ ἔχιδνα. Ψηφίς : τὸ μικρὸν ψηφίον. Κρηνίς : ὑποκορυστικόν· σημαίνει δὲ τὴν πηγήν· κρήνη γὰρ ἡ πηγή. Βαλβίς : ἡ ἀφετηρία. Φαλκίς : τὸ φαλκίδιον. Σαρπίς : ὁ σάρπος. Ῥιπίς : ῥιπίδιον. Καρίς : ἢ καριδάριον. Ψάρ : ὄνομα ἔθνους. σημαίνει καὶ τὸν πρ.... Μάρτυρ : μάρτυς. Μάκαρ : μακάριε. Δάμαρ : γυνή. Ἀρκάς : ὄνομα ἔθνους. Κιχράς : διδούς. Ἐθάς : φίλος. συνήθης. Πιμπράς : ὁ ἐμπρηστής. Ἱμάς : ὁ λῶρος. Ἀνδριάς : στήλη ἀνδρός. Νεοκράς : ὁ νεωστὶ κεκραμένος. Ἐλικράς : ὁ ἐλαίῳ κεκραμένος· ἀπὸ τοῦ ἐλαιοκράς . Φρῦνος : παλαιὸς βάτραχος. Θῦνος : ἡ θύννα. Πλυνός : ὄνομα τόπου. Δεσπόσυνος : δεσπότης. [30]

449 Πίσυνος : πεπιστευκώς. Θάρσυνος : θρασύς. Πάχυνος : παχύς. Βόθυνος : ἡ τάφρος. Πόλτυνος : ὄνομα ὄρους. Βύνη : ὄνομα κύριον. Κερδοσύνη : κέρδος. ἐμπορία. Βριθοσύνη : βαρεῖα. Ὑποθημοσύνη : ὑποθήκη. Κορύνη : σιδηρᾶ ῥάβδος. Χελύνη : χελώνη· Χελύνιον καὶ τὸ χεῖλος. Τορύνη : ἡ καταπεπονημένη. Ὀτρύνω : διεγείρω. Καλλύνω : καλλωπίζω. Πυρκαϊά : λαμπρόν. Ἀγορά : ἐκκλησία. Μνᾶ : ἀπὸ τοῦ Μνῶ. Ἀγυιά : ἡ στενὴ ὁδός. ἡ ῥύμη. Ἄγκυρα : ὄνομα πόλεως. Κέρκυρα : ὄνομα πόλεως. Ὄλυρα : εἶδος σίτου. Ἐφύρα : ὄνομα πόλεως. Καλύπτρα : σκέπασμα. Ἐνέδρα : ἔγκρυμμα. Τάναγρα : ὄνομα πόλεως. Σκολοπένδρα : εἶδος θηρίου. Ῥόδιος : ὁ ἀπὸ τῆς Ῥόδου. Σάμιος : ὁ ἀπὸ Σάμου. Λάρος : ὁ γλάρος. [25]

450 [15t] Πάρος : πρότερον. ἢ ἔμπροσθεν. Κλάρος : ὄνομα τόπου. Κάρος : ὄνομα νόσου. Ἱρεύς : ὁ ἱερεύς. Ἴρηξ : ἱέραξ. Οἱ νέκυς : οἱ νεκροί. Οἱ βότρυς : οἱ βότρυες. Εὐφυᾶ : εὐφυῆ. Εὐκλεᾶ : ἔνδοξον. Ἄργος : ἡ Πελοπόννησος. Ἱκέσθαι : παραγενέσθαι. Νηλέα : ἀνηλεῆ. Τέλος σὺν θεῷ τοῦ λεξικοῦ τῆς γραμματικῆς .

Eulogikon public reading copy · View original HTML at eulogikon.org